IN 80769

9

.... ειη δ'άν ή έξουσια ήν λεγω,
τοιαδε μαλιςα, ει αύτοις γενοιτο
οιαν ποτε φασι δυναμιν τω Γυγου (?)
του Λυδου προγονω γενεσθαι. ειναι μεν
γαρ αύτον ποιμενα θητευοντα παρα
τω τοτε Λυδιας άρχοντι· όμβρου δε
πολλου γενομενου και σεισμου, ῥα-
γηναι τι της γης, και γενεσθαι χασμα
κατα τον τοπον ή ενεμεν. ιδοντα
δε και θαυμασαντα, καταβηναι, και
ιδειν άλλα τε δη ά μυθολογουσι θαυ-
μαστα, και ίππον χαλκουν κοιλον,
θυριδας έχοντα· καθ' άς έγκυψαντα
ιδειν ενοντα νεκρον, ώς φαινεσθαι
μειζω ή κατ' άνθρωπον· τουτο δε
άλλο μεν ούδεν, περι δε τη χειρι
χρυσουν δακτυλιον φερειν. όν περι-
ελομενον έκβηναι. συλλογου δε
γενομενου τοις ποιμεσιν ειωθοτος,
ιν' έξαγγελλοιεν κατα μηνα τω βασιλει
τα περι τα ποιμνια, άφικεσθαι και
έκεινον, έχοντα τον δακτυλιον.
καθημενον ούν μετα των άλλων
τυχειν την σφενδονην του δακτυλιου

U11

περιαγοντα προς ἑαυτον εἰς το εἴσω τῆς χειρος. τουτου δε γενομενου ἀφανῆ αὐτον γενεσθαι τοῖς παρακαθημενοις, και διαλεγεσθαι ὡς περι οἰχομενου. και τουτον θαυμαζειν τε, και παλιν ἐπιψηλαφῶντα τον δακτυλιον στρεψαι ἔξω την σφενδονην, και στρεψαντα φανερον γενεσθαι. και τουτο ἐννοησαντα, ἀποπειρασθαι του δακτυλιου εἰ ταυτην ἔχει την δυναμιν. και αὐτῷ, οὕτω συμβαινειν, στρεφοντι μεν εἴσω την σφενδονην, ἀδηλῳ γινεσθαι· ἔξω δε, δηλῳ. αἰσθομενον δε, εὐθυς διαπραξασθαι των ἀγγελων γενεσθαι των περι τον βασιλεα, ἐλθοντα δε, και την γυναικα αὐτου μοιχευσαντα, μετ' ἐκεινης ἐπιθεμενον τῷ βασιλει, ἀποκτεῖναι, και την ἀρχην κατασχειν.

Plato de republica lib. 2.

WIENER-STADTBIBLIOTHEK